# Eulogikon

Ancient Greek Texts — Free & Open source

eul_wid: dmk-ab

*Μητρόδωρος ὁ Χῖος* · Metrodorus of Chios

# Fragments on Trojan Legends

*Ἀποσπάσματα περὶ Τρωικῶν Μύθων*

**Period:** *Κλασική* Classical
**Dialect:** *Φιλοσοφική Ἀττική* Attic Philosophical
**Domain:** *Φιλοσοφία* Philosophy
**Format:** *Συναγωγή* Collection
**Affiliation:** Atomist

1a,43,F 1 ATHEN. IV 184 A: Μητρόδωρος δ' ὁ Χῖος ἐν Τρωικοῖς σύριγγα μέν φησιν εὑρεῖν Μαρσύαν καὶ αὐλὸν ἐν Κελαιναῖς, τῶν πρότερον ἑνὶ καλάμωι συριζόντων. Εὐφορίων δ' ὁ ἐποποιὸς ἐν τῶι Περὶ μελοποιῶν (F 58 Scheidw.) τὴν μὲν μονοκάλαμον σύριγγα Ἑρμῆν εὑρεῖν .... τὴν δὲ πολυκάλαμον Σιληνόν, Μαρσύαν δὲ τὴν κηρόδετον.

1a,43,F 2 SCHOL. GEN. I HOM. Il. Φ 444: θητεύσαμεν] ζητεῖται διὰ τί ἐθήτευσαν. Ἑλλάνικός (4 F 26) φησι πειράζοντες Λαομέδοντα. γράφει δὲ ἐν α τῶν Τρωικῶν ...... Μητρόδωρος ἐν Τρωικοῖς· « μετὰ ταῦτα λέγουσι πα ρ ' αὐτὸν ἀφικέσθαι δύο ἄνδρα ς , ὁπόθεν μὲν καὶ οἵτινες οὐδεὶς ἔχει εἰπεῖν ἀτρεκέως · ἐλθόντας δὲ εἰπεῖν ὅτι Λαομέδοντι χρὴ ἀνδρὶ βασιλεῖ εἶναι ἀκρόπολιν ἐν τῆι πόλε ι , ἐν ἧι αὐτὸν οἰκεῖν πρέποι · ' ἡμεῖς οὖν σοι θέλομεν τειχίον κτίσαι καὶ ἐπιστατῆσα ι . ' »

1a,43,F 3 PLUTARCH. Quaest. conv. VI 8, 1 p. 694 A B: ἐδόκει δ' ἡ βούβρωστις ἕτερον εἶναι (sc. τοῦ βουλίμου)· τὸ δὲ τεκμήριον ἐλαμβάνομεν ἐκ τῶν Μητροδώρου 'Ιωνικῶν. ἱστορεῖ γὰρ ὅτι Σμυρναῖοι τὸ παλαιὸν Αἰολεῖς ὄντες θύουσι Βουβρώστει ταῦρον μέλανα καὶ κατακόψαντες αὐτόδορον ὁλοκαυτοῦσιν.

1a,43,F 3bis PLIN. N.H. 5, 136: Chios libera, quam Aethaliam Ephorus (70 F 165) prisco nomine appellat, Metrodorus et Cleobulus (VI) Chiam a Chione nympha, aliqui a nive, et Macrin et Pityusam.

1a,43,F 4 Porphyr. in Schol. B Hom. Il. K 252 (I 147, 18 Schrad.) παρώιχηκεν δὲ πλέω νὺξ τῶν δύο μοιράων, τριτάτη δ' ἔτι μοῖρα λέλειπται] ... Μητρόδωρος μὲν οὖν τὸ πλεῖον δύο σημαίνειν φησὶ παρ' Ὁμήρωι· καὶ γὰρ τὸ σύνηθες, ὡς ὅταν λέγηι 'νώτου ἀποπροταμών, ἐπὶ δὲ πλεῖον ἐλέλειπτο' (Od. θ 475) καὶ 'ἀλλὰ τὸ μὲν πλεῖον πολυάικος πολέμοιο χεῖρες ἐμαὶ διέπουσιν' (Il. A 165). σημαίνει 〈ν δὲ〉 καὶ τὸ πλῆρες, ὡς ἐν τῶι 'σὸν δὲ πλεῖον δέπας αἰεὶ ἕστηκε' (Il. Δ 262) καὶ ἐν τῶι 'πλεῖαί τοι χαλκοῦ κλισίαι' (Il. B 226). νῦν οὖν τὸ πλέον ἀντὶ τοῦ πλῆρες εἰρῆσθαι ... Χρύσιππος δὲ .....